Βούλει σὺ δῆτα κἀπιτρέψαι Λαμάχῳ,
Πότερον ἀκρίδες ἥδιόν ἐστιν ἢ κίχλαι;
Λα. Οἴμ' ὡς ὑβρίζεις. Δι. τὰς ἀκρίδας κρίνει πολύ.
Λα. Παῖ παῖ καθελών μοι τὸ δόρυ, δεῦρ' ἔξω φέρε.
Δι. Παῖ παῖ, σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
Λα. Φέρε, τοῦ δόρατος ἀφελκύσωμαι τοὔλυτρον.
Ἔχ' ἀντέχου παῖ. Δικ. καὶ σὺ παῖ τοῦδ' ἀντέχου.
Λα. Τοὺς κιλλίβαντας οἶσε παῖ τῆς ἀσπίδος.
Δι. Καὶ τῆς ἐμῆς τοὺς κριβανίτας ἔκφερε.
Λα. Φέρε δεῦρο Γοργόνωτον ἀσπίδος κύκλον.
Δι. Κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον.
Λα. Ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;
Δι. Ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;
Λα. Κατάχει σὺ παῖ τοὔλαιον ἐν τῷ χαλκίῳ.
Ἐνορῶ γέροντα δειλίας φευξούμενον.
Δι. Κατάχει σὺ τὸ μέλι κἀνθάδ' ἔνδηλος γέρων.
Κλάειν κελεύω Λάμαχον τὸν Γοργάσου.
Λα. Φέρε δεῦρο παῖ θώρακα πολεμιστήριον.
Δι. Ἔξαιρε παῖ θώρακα κἀμοὶ τὸν χοᾶ.
Λα. Ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.
Δικαιοπ. Ἐν τῷδε πρὸς τοὺς συμπότας θωρήξομαι.
Λα. Τὰ στρώματ' ὦ παῖ δῆσον ἐκ τῆς ἀσπίδος.
Ἐγὼ δ' ἐμαυτῷ τὸν γύλιον οἴσω λαβών.
Δι. Τὸ δεῖπνον ὦ παῖ δῆσον ἐκ τῆς κιστίδος.
Ἐγὼ δὲ θοἰμάτιον λαβὼν ἐξέρχομαι.
Λα. Τὴν ἀσπίδ' αἴρου καὶ βάδιζ' ὦ παῖ λαβών.
Νίφει. βαβαιάξ. χειμέρια τὰ πράγματα.
Δικ. Αἴρου τὸ δεῖπνον, συμποτικὰ τὰ πράγματα.

A *Dudum. age vin' Lamachi arbitrio permittere:*
*Vtrum locustæ, an turdi meliores sient?*
*LA. Ah quàm tu iniurius es. DI. locustas antefert.*
*LA. Puer, puer hastam deiice, & effer huc mihi.*
*DI. Puer, puer, intestinum adime: & effer mihi.*
*LA. Age, integumentum huic hastæ deripiam, puer*
B *Tene, retine. DI. & tu isthuc cõtrà retine puer.*
*LA. Fer clypei fulcra puer. DI. fer clibanarios*
*Tu mihi panes, fulcrum ventris mei, puer.*
*LA. Fer huc mihi Gorgonitergum clypei circulum.*
*DI. Et mihi placentæ caseitergum circulum.*
*LA. Non hæc coram hominibus lata est irrisio?*
C *DI. Non hæc coram hominibus placenta dulcis est?*
*LA. Infunde tu puer oleum scuto æreo:*
*Intus video senem fugiturum præ metu.*
*DI. Infunde tu mel. nam manifestus hic senex:*
*Ego plorare iubeo Gorgonium Lamachum.*
*LA. Huc effer mihi puer loricam bellicam.*
*DI. Huc effer loricam mihi puer, meum choa.*
*LA. Hac ego contra hostes lorica armabor truces.*
D *DI. Hoc ego contra conuiuas armabor choë.*
*LA. Puer clypeo meo alligato stragula:*
*Ego integumentum ipsius capiam & mecum feram.*
*DI. Puer cistæ panariæ cœnam alliga:*
*Ego pallio accepto, iam hinc egredior domo.*
E *LA. Tolle clypeum tibi & accipe puer, atque abi.*
*Ningit. papæ, hyberna hæc nobis negocia.*
*DI. Cœnam tolle, hæc conuiuialia negocia.*

Σχόλια. Κἀπιτρέψαι Λαμάχῳ.] ἐπιτρέψαι ὥστε κρῖναι. καὶ Μένανδρος ἐν ἐπιτροπεῖ. ἐπιτρεπτέον τινί ἐστι περὶ τούτων. ταῦτα δὲ διαλέγεται πρὸς τὸν οἰκέτην διασύρων καὶ παίζων τὸν Λάμαχον. Πότερον ἀκρίδες.] διασύρει τὸν Λάμαχον ὡς ἀκρίδας ἐσθίοντα. ἢ ὅτι πρότερον εὐτελεῖ ἐχρῆτο τῇ διαίτῃ. Καθελών μοι τὸ δόρυ.] παρατηρητέον ὅπως ὁ μὲν φιλοπόλεμος ὤν, πάντα τὰ εἰς πόλεμον ζητεῖ. ὁ δὲ ἀντιστρόφως τὰ εἰς εἰρήνην. Δεῦρο τὴν χορδήν.] χορδὴ καλεῖται τὸ παχὺ ἔντερον τοῦ προβάτου. Τοὔλυτρον.] τὴν θήκην τὸ ἐντελές, τὸ ἔλυτρον. Καὶ σὺ παῖ τοῦδ' ἀντέχου.] τοῦ ὀβελίσκου, ὥστε τὰ ἐμπεπαρμένα κρέα ἢ τὴν χορδὴν μὴ ἐκλῦσαι. Τοὺς κιλλίβαντας.] τρισκελῆ τινα σκευάσματα, ἐφ' ὧν ἐπιτιθέασι τὰς ἀσπίδας ἐπειδὰν κάμωσι πολεμοῦντες. Καὶ τῆς ἐμῆς τοὺς κριβανίτας.] λείπει γαστρός. ἵν' ᾖ, καὶ τῆς ἐμῆς γαστρὸς τὴν ἀνάπαυσιν ἔκφερε τοὺς κριβανίτας ἄρτους. ἔπαιξε δὲ χαριέντως ὅτι καὶ οὗτοι περιφερεῖς ὡς αἱ ἀσπίδες. Γοργόνωτον.] περιφραστικῶς τὴν ἀσπίδα. Γοργόνωτον δὲ τὴν ἔχουσαν Γοργόνα. Κατάχει σὺ παῖ.] εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος ἵνα γένηται λαμπροτέρα. ὁ Λάμαχος δέ ἐστι παρακελευόμενος ἐπὶ τὸ μέρος τὸ χαλκοῦν τῆς ἀσπίδος, ἔλαιον καταχυθῆναι ἵνα στίλβῃ. εἰσὶ γάρ τινες οἱ ἐν ἐλαίῳ ὁρῶντες μαντεύονται. οὕτως ὁ Σύμμαχος. σμήχει οὖν τὴν ἀσπίδα καταχέων τὸ ἔλαιον ἐπὶ τῆς χαλκῆς πτυχός. εἶτα ὡς φαιδρυνθείσης αὐτῆς ἐνοπτριζόμενος πρὸς αὐτὸν λέγει. ὁρῶ ἐν αὐτῇ γέροντα ὑπὸ δειλίας φεύγοντα. οὐ δὲ μὴ δυνάμενον ὁρᾶν τὴν ἀσπίδα διὰ τὴν ἔλλαμψιν. Ὅμηρος. Ὄσσε δ' ἄμερδε. ταῦτα δὲ ὡς μαντευόμενος λέγει. Ἔξαιρε παῖ θώρακα.] πρὸς τὴν ὁμωνυμίαν ἔπαιξε. θωρήξασθαι γάρ ἐστι τὸ καθοπλισθῆναι. ἀλλὰ καὶ τὸ πίνειν καὶ μεθύειν οὕτω καλοῦσιν. ἐπειδὴ θώραξ καὶ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος, θωρύσσειν λέγουσι τὸ μεθύειν. καὶ θώρακας τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων. ἔστι δὲ ἀττική. ἔξελε οὖν φησι κἀμοὶ τὸν χοᾶ. ὃν καλεῖ θώρακα. ὥστε θωρακισθῆναι τελέσει τὸν θώρακα πληρῶσαι. Κίστιδος.] καὶ κίστη καὶ κίστις λέγεται. καὶ διελθὼν τοῦτο τὸ δρᾶμα γνώσῃ. Νίφει βαβαιάξ.] οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες, ἐπετήρουν τὰς διοσημείας.

ΠΡΟΩΔΟΣ κώλων ζ'.

CHORVS.